# 0345-0407 - Iohannes Chrysostomus - Sermo antequam iret in exsilium

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.**
**On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.**
**Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,**
**serial number '2062 091 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Sermo antequam iret in exsilium

[00001] ΤΟΥ ΑΥΤΟΥ ΟΜΙΛΙΑ ΠΡΟ ΤΗΣ ΕΞΟΡΙΑΣ.

52.427

[00002] α′.

[00003] Πολλὰ τὰ κύματα καὶ χαλεπὸν τὸ κλυδώνιον·

[00004] ἀλλ' οὐ δεδοίκαμεν, μὴ καταποντισθῶμεν·

[00005] ἐπὶ γὰρ τῆς πέτρας ἑστήκαμεν.

[00006] Μαινέσθω ἡ θάλασσα, πέτραν διαλῦσαι οὐ δύναται·

[00007] ἐγειρέσθω τὰ κύματα, τοῦ Ἰησοῦ τὸ πλοῖον καταποντίσαι οὐκ ἰσχύει.

[00008] Τί δεδοίκαμεν, εἰπέ μοι;

[00009] Τὸν θάνατον;

[00010] Ἐμοὶ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος.

[00011] Ἀλλ' ἐξορίαν, εἰπέ μοι;

[00012] Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς.

[00013] Ἀλλὰ χρημάτων δήμευσιν;

[00014] Οὐδὲν εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲν ἐξενεγκεῖν δυνάμεθα·

[00015] καὶ τὰ φοβερὰ τοῦ κόσμου ἐμοὶ εὐκαταφρόνητα, καὶ τὰ χρηστὰ καταγέλαστα.

[00016] Οὐ πενίαν δέδοικα, οὐ πλοῦτον ἐπιθυμῶ·

[00017] οὐ θάνατον φοβοῦμαι, οὐ ζῆσαι εὔχομαι, εἰ μὴ διὰ τὴν ὑμετέραν προκοπήν.

[00018] Διὸ καὶ τὰ νῦν ὑπομιμνήσκω, καὶ παρακαλῶ τὴν ὑμετέραν θαῤ [52.428] ῥεῖν ἀγάπην.

[00019] Οὐδεὶς γὰρ ἡμᾶς ἀποσπάσαι δυνήσεται·

[00020] ὃ γὰρ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος χωρίσαι οὐ δύναται.

[00021] Εἰ γὰρ περὶ γυναικὸς καὶ ἀνδρὸς λέγει·

[00022] Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν·

[00023] ὃ οὖν ὁ Θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

[00024] Εἰ γάμον οὐ δύνασαι διασπάσαι, πόσῳ μᾶλλον Ἐκκλησίαν Θεοῦ οὐκ ἰσχύεις καταλῦσαι;

[00025] ἀλλὰ πολεμεῖς αὐτὴν, οὐ δυνάμενος βλάψαι τὸν πολεμούμενον.

[00026] Ἀλλ' ἐμὲ μὲν ἐργάζῃ λαμπρότερον, ἑαυτοῦ δὲ τὴν ἰσχὺν καταλύεις τῆς πρὸς ἐμὲ μάχης·

[00027] Σκληρὸν γάρ σοι πρὸς κέντρα ὀξέα λακτίζειν.

[00028] Οὐκ ἀμβλύνεις τὰ κέντρα, ἀλλὰ τοὺς [52.429] πόδας αἱμάσσεις·

[00029] ἐπεὶ καὶ τὰ κύματα τὴν πέτραν οὐ διαλύει, ἀλλ' αὐτὰ εἰς ἀφρὸν διαλύονται.

[00030] Οὐδὲν Ἐκκλησίας δυνατώτερον, ἄνθρωπε.

[00031] Λῦσον τὸν πόλεμον, ἵνα μὴ καταλύσῃ σου τὴν δύναμιν·

[00032] μὴ εἴσαγε πόλεμον εἰς οὐρανόν.

[00033] Ἄνθρωπον ἐὰν πολεμῇς, ἢ ἐνίκησας, ἢ ἐνικήθης.

[00034] Ἐκκλησίαν δὲ ἐὰν πολεμῇς, νικῆσαί σε ἀμήχανον·

[00035] ὁ Θεὸς γάρ ἐστιν ὁ πάντων ἰσχυρότερος.

[00036] Μὴ παραζηλοῦμεν τὸν Κύριον;

[00037] μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;

[00038] Ὁ Θεὸς ἔπηξε, τίς ἐπιχειρεῖ σαλεύειν;

[00039] Οὐκ οἶσθα αὐτοῦ τὴν δύναμιν.

[00040] Ἐπιβλέπει ἐπὶ τὴν γῆν, καὶ ποιεῖ αὐτὴν τρέμειν·

[00041] κελεύει, καὶ τὰ σειόμενα ἡδράζετο.

[00042] Εἰ τὴν πόλιν σαλευομένην ἔστησε, πολλῷ μᾶλλον τὴν Ἐκκλησίαν στῆσαι δύναται.

[00043] Ἡ Ἐκκλησία οὐρανοῦ ἰσχυροτέρα·

[00044] Ὁ οὐρανὸςκαὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

[00045] Ποῖοι λόγοι;

[00046] Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ μου τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς.

[00047] β΄.

[00048] Εἰ ἀπιστεῖς τῷ λόγῳ, πίστευε τοῖς πράγμασι.

[00049] Πόσοι τύραννοι ἠθέλησαν περιγενέσθαι τῆς Ἐκκλησίας;

[00050] πόσα τήγανα;

[00051] πόσοι κάμινοι, θηρίων ὀδόντες, ξίφη ἠκονημένα;

[00052] καὶ οὐ περιεγένοντο.

[00053] Ποῦ οἱ πολεμήσαντες;

[00054] Σεσίγηνται καὶ λήθῃ παραδέδονται.

[00055] Ποῦ δὲ ἡ Ἐκκλησία;

[00056] Ὑπὲρ τὸν ἥλιον λάμπει.

[00057] Τὰ ἐκείνων ἔσβεσται, τὰ ταύτης ἀθάνατα.

[00058] Εἰ ὅτε ὀλίγοι ἦσαν, οὐκ ἐνικήθησαν, ὅτε ἡ οἰκουμένη ἐπλήσθη εὐσεβείας, πῶς νικῆσαι δύνασαι;

[00059] Ο οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

[00060] Καὶ μάλα εἰκότως·

[00061] ποθεινοτέρα γὰρ ἡ Ἐκκλησία τῷ Θεῷ τοῦ οὐρανοῦ.

[00062] Οὐρανοῦ σῶμα οὐκ ἀνέλαβεν, Ἐκκλησίας δὲ σάρκα ἀνέλαβε·

[00063] διὰ τὴν Ἐκκλησίαν ὁ οὐρανὸς, οὐ διὰ τὸν οὐρανὸν ἡ Ἐκκλησία.

[00064] Μηδὲν ὑμᾶς θορυβείτω τῶν γενομένων.

[00065] Τοῦτό μοι χαρίσασθε, πίστιν ἀπερίτρεπτον.

[00066] Οὐκ εἴδετε τὸν Πέτρον περιπατοῦντα ἐπὶ τῶν ὑδάτων, καὶ ὀλίγον διστάσαντα, καὶ μέλλοντα καταποντίζεσθαι, οὐ διὰ τὴν ἄτακτον τῶν ὑδάτων ὁρμὴν, ἀλλὰ διὰ τὴν ἀσθένειαν τῆς πίστεως;

[00067] Μὴ γὰρ ἀνθρωπίναις ψήφοις ἐνταῦθα ἤλθομεν;

[00068] μὴ γὰρ ἄνθρωπος ἤγαγεν, ἵνα ἄνθρωπος καταλύσῃ;

[00069] Ταῦτα λέγω οὐκ ἀπονοούμενος, μὴ γένοιτο, οὐδὲ ἀλαζονευόμενος, ἀλλὰ τὸ ὑμῶν σεσαλευμένον στηρίξαι βουλόμενος.

[00070] Ἐπειδὴ ἔστη ἡ πόλις, Ἐκκλησίαν ὁ διάβολος ἠθέλησε σαλεῦσαι.

[00071] Μιαρὲ καὶ παμμίαρε διάβολε, τοίχων οὐ περιεγένου, καὶ Ἐκκλησίαν προσδοκᾷς σαλεῦσαι;

[00072] Μὴ γὰρ ἐν τοίχοις ἡ Ἐκκλησία;

[00073] Ἐν τῷ πλήθει τῶν πιστῶν ἡ Ἐκκλησία.

[00074] Ἰδοὺ πόσοι στῦλοι ἑδραῖοι, οὐ σιδήρῳ δεδεμένοι, ἀλλὰ πίστει ἐσφιγμένοι.

[00075] Οὐ λέγω ὅτι τοσοῦτον πλῆθος πυρὸς σφοδρότερον·

[00076] ἀλλ' οὔτε, εἰ εἷς ἦν, περιεγένου.

[00077] Καὶ οἶδας, οἷά σοι τραύματα παρέσχον οἱ μάρτυρες.

[00078] Εἰσῆλθε πολλάκις κόρη ἁπαλὴ ἀπειρόγαμος·

[00079] κηροῦ ἦν ἁπαλωτέρα, καὶ πέτρας ἐγένετο στερεωτέρα.

[00080] Τὰς πλευρὰς αὐτῆς ἔξεες, καὶ τὴν πίστιν αὐτῆς οὐκ ἔλαβες.

[00081] Ἠτόνησε τῆς σαρκὸς ἡ φύσις, καὶ οὐκ ἀπηγορεύθη τῆς πίστεως ἡ δύναμις·

[00082] ἐδαπανᾶτο τὸ σῶμα, ἐνεανιεύετο τὸ φρόνημα·

[00083] ἀνηλίσκετο δὲ ἡ οὐσία, καὶ ἔμενεν ἡ εὐλάβεια.

[00084] Γυναικὸς οὐ περιεγένου μιᾶς, καὶ τοσούτου περιγενέσθαι δήμου προσδοκᾷς;

[00085] Οὐκ ἀκούεις τοῦ Κυρίου λέγοντος, Ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι εἰς τὸ ὄνομά μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν;

[00086] Ὅπου τοσοῦτος δῆμος ἀγάπῃ ἐσφιγμένος, οὐ πάρεστιν;

[00087] Ἔχω αὐτοῦ ἐνέχυρον·

[00088] μὴ γὰρ οἰκείᾳ δυνάμει θαῤῥῶ;

[00089] Γραμματεῖον αὐτοῦ κατέχω.

[00090] Ἐκεῖνό μοι βακτηρία, ἐκεῖνό μοι ἀσφάλεια, ἐκεῖνό μοι λιμὴν [52.430] ἀκύμαντος.

[00091] Κἂν ἡ οἰκουμένη ταράττηται, τὸ γραμματεῖον κατέχω·

[00092] αὐτῷ ἀ(f.

[00093] αὐτὸ) ἀναγινώσκω·

[00094] τὰ γράμματα ἐκεῖνα τεῖχος ἐμοὶ καὶ ἀσφάλεια.

[00095] Ποῖα ταῦτα;

[00096] Ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.

[00097] Χριστὸς μετ' ἐμοῦ, καὶ τίνα φοβηθήσομαι;

[00098] Κἂν κύματα κατ' ἐμοῦ διεγείρηται, κἂν πελάγη, κἂν ἀρχόντων θυμοί·

[00099] ἐμοὶ ταῦτα πάντα ἀράχνης εὐτελέστερα.

[00100] Καὶ εἰ μὴ διὰ τὴν ὑμετέραν ἀγάπην, οὐδὲ σήμερον ἂν παρῃτησάμην ἀπελθεῖν.

[00101] Ἀεὶ γὰρ λέγω, Κύριε, τὸ σὸν θέλημα γενέσθω·

[00102] μὴ ὅ τι ὁ δεῖνα, καὶ ὁ δεῖνα, ἀλλ' εἴ τι σὺ βούλει.

[00103] Οὗτος ἐμοὶ πύργος, τοῦτο ἐμοὶ πέτρα ἀκίνητος·

[00104] τοῦτο ἐμοὶ βακτηρία ἀπερίτρεπτος.

[00105] Εἰ βούλεται ὁ Θεὸς τοῦτο γενέσθαι, γινέσθω.

[00106] Εἰ βούλεται ἐνταῦθα εἶναί με, χάριν ἔχω.

[00107] Ὅπου βούλεται, εὐχαριστῶ.

[00108] γʹ.

[00109] Μηδεὶς ὑμᾶς θορυβείτω·

[00110] ταῖς εὐχαῖς προσέχετε.

[00111] Ταῦτα ἐποίησεν ὁ διάβολος, ἵνα ἐκκόψῃ τὴν σπουδὴν τὴν περὶ τὰς λιτανείας.

[00112] Ἀλλ' οὐ προχωρεῖ αὐτῷ·

[00113] ἀλλὰ σπουδαιοτέρους ὑμᾶς καὶ θερμοτέρους εὑρήκαμεν.

[00114] Αὔριον εἰς λιτανεῖον ἐξελεύσομαι μεθ' ὑμῶν.

[00115] Ἢ ὅπου ἐγὼ, καὶ ὑμεῖς ἐκεῖ·

[00116] ὅπου ὑμεῖς, ἐκεῖ κἀγώ·

[00117] ἓν σῶμά ἐσμεν·

[00118] οὐ σῶμα κεφαλῆς, οὐ κεφαλὴ σώματος χωρίζεται.

[00119] Διειργόμεθα τῷ τόπῳ, ἀλλ' ἡνώμεθα τῇ ἀγάπῃ·

[00120] οὐδὲ θάνατος διακόψαι δυνήσεται.

[00121] Κἂν γὰρ ἀποθάνῃ μου τὸ σῶμα, ζῇ ἡ ψυχὴ, καὶ μέμνηται τοῦ δήμου·

[00122] ὑμεῖς ἐμοὶ πατέρες·

[00123] πῶς ὑμῶν δύναμαι ἐπιλαθέσθαι;

[00124] ὑμεῖς ἐμοὶ πατέρες, ὑμεῖς ἐμοὶ ζωὴ, ὑμεῖς ἐμοὶ εὐδοκίμησις.

[00125] Ἐὰν ὑμεῖς προκόψητε, ἐγὼ εὐδοκιμῶ·

[00126] ὥστε ἐμοὶ ζωὴ πλοῦτος ἐν τῷ ὑμετέρῳ κεῖται θησαυρῷ.

[00127] Ἐγὼ μυριάκις ὑπὲρ ὑμῶν σφαγῆναι ἕτοιμος (καὶ οὐδεμίαν χάριν παρέχω, ἀλλὰ καὶ ὀφειλὴν ἀποδίδωμι·

[00128] Ὁ γὰρ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων), καὶ σφαγῆναι μυριάκις, καὶ μυρίας κεφαλὰς ἀποτμηθῆναι.

[00129] Ἐμοὶ ὁ θάνατος οὗτος ἀθανασίας ὑπόθεσις, ἐμοὶ αἱ ἐπιβουλαὶ αὗται ἀσφαλείας ἀφορμή.

[00130] Μὴ γὰρ διὰ χρήματα ἐπιβουλεύομαι, ἵνα λυπηθῶ;

[00131] μὴ γὰρ δι' ἁμαρτήματα, ἵνα ἀλγήσω;

[00132] Διὰ τὸν ἔρωτα τὸν περὶ ὑμᾶς·

[00133] ἐπειδὴ πάντα ποιῶ, ὥστε ὑμᾶς ἐν ἀσφαλείᾳ μεῖναι, ὥστε μηδένα παρεισελθεῖν τῇ ποίμνῃ, ὥστε μεῖναι ἀκέραιον τὸ ποίμνιον.

[00134] Ἡ ὑπόθεσις τῶν ἀγώνων ἀρκεῖ μοι εἰς στέφανον.

[00135] Τί γὰρ ἂν πάθοιμι ὑπὲρ ὑμῶν;

[00136] Ὑμεῖς ἐμοὶ πολῖται, ὑμεῖς ἐμοὶ πατέρες, ὑμεῖς ἐμοὶ ἀδελφοὶ, ὑμεῖς ἐμοὶ τέκνα, ὑμεῖς ἐμοὶ μέλη, ὑμεῖς ἐμοὶ σῶμα, ὑμεῖς ἐμοὶ φῶς, μᾶλλον δὲ καὶ τοῦ φωτὸς τούτου γλυκύτεροι.

[00137] Τί γὰρ τοιοῦτον παρέχει μοι ἡ ἀκτῖνα οἷον ἡ ὑμετέρα ἀγάπη;

[00138] Ἡ ἀκτῖνα ἐν τῷ παρόντι με βίῳ ὠφελεῖ, ἡ δὲ ὑμετέρα ἀγάπη στέφανόν μοι πλέκει ἐν τῷ μέλλοντι.

[00139] Ταῦτα δὲ λέγω εἰς ὦτα ἀκουόντων·

[00140] τί δὲ τῶν ὤτων ὑμῶν ἀκουστικώτερον;

[00141] Τοσαύτας ἡμέρας ἠγρυπνήσατε, καὶ οὐδὲν ὑμᾶς ἔκαμψεν, οὐ χρόνου μῆκος μαλακωτέρους ὑμᾶς ἐποίησεν, οὐ φόβοι, οὐκ ἀπειλαί·

[00142] πρὸς πάντα ἐγένεσθε γενναῖοι.

[00143] Καὶ τί λέγω, ἐγένεσθε;

[00144] Τοῦτο ὅπερ ἐπεθύμουν ἀεὶ, κατεφρονήσατε τῶν βιωτικῶν πραγμάτων, ἀπετάξασθε τῇ γῇ, εἰς τὸν οὐρανὸν μετέστητε·

[00145] ἀπηλλάγητε τῶν συνδέσμων τοῦ σώματος, πρὸς τὴν μακαρίαν ἐκείνην ἁμιλλᾶσθε φιλοσοφίαν.

[00146] Ταῦτα ἐμοὶ στέφανοι, ταῦτα παράκλησις, ταῦτα παραμυθία, ταῦτα ἐμοὶ ἄλειμμα, ταῦτα ζωὴ, ταῦτα ἀθανασίας ὑπόθεσις.

[00147] δʹ.

[00148] Ἀλλ' ὁρῶ τοῖς ἐμαυτοῦ δόγμασί τινας ἐγκαρτερεῖν με πειθόντων.

[00149] Φέρει γὰρ πολλὰ τῶν εὐτυχημάτων εἰς τοὐναντίον·

[00150] ὅτι οἷς ἐδόκουν ζηλωτὴς εἶναι, περιπέπτωκα τῇ μοχθηρίᾳ·

[00151] οἱ μὲν κατὰ τὸν τρόπον καθαιροῦντες νικῶσι τὸν ἀγῶνα τῇ διαφορᾷ τῶν πραγμάτων·

[00152] οὐκ ἠπείλουν, ἀλλὰ παρίσταντο.

[00153] Ἔστι γὰρ καιρὸς νῦν εἰπεῖν τὰ περὶ τῆς ἐμῆς θλίψεως.

[00154] Νόμος ἐστὶν, ἀλλ' ὁ νομοθέτης νικᾶται.

[00155] Τέκνα, μὰ τὴν ὑμετέραν ἀγάπην, βλέπω συσκευὴν πολεμοῦσαν, καὶ τὸν Θεὸν ὑβριζόμενον·

[00156] βλέπω τὸν ἀγῶνα πίπτοντα, καὶ τὸν ἀγωνοθέτην λυπούμενον·

[00157] βλέπω τὸ πιθανὸν τῆς ἀληθείας μαραινόμενον, καὶ τὴν συσκευὴν ἀνθοῦσαν.

[00158] Λέγουσί μοι, ὅτι Ἔφαγες καὶ ἐβάπτισας.

[00159] Εἰ ἐποίησα τοῦτο, ἀνάθεμα ἔσομαι·

[00160] μὴ ἀριθμηθείην εἰς ἐπισκόπων ῥίζαν·

[00161] μὴ γένωμαι μετ' ἀγγέλων·

[00162] μὴ ἀρέσω Θεῷ·

[00163] εἰ δὲ καὶ ἔφαγον καὶ ἐβάπτισα, οὐδὲν ἄκαιρον τῶν πραγμάτων ἐποίησα.

[00164] Πρόσχες μοι μετὰ ἀκριβείας ὃ λέγω, καὶ λέγων οὐ παύσομαι.

[00165] Ἐμοὶ μὲν τὸ λέγειν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές.

[00166] Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον.

[00167] Λέγουσιν ὅτι ἔφαγον καὶ ἐβάπτισα.

[00168] Καθελέτωσαν οὖν Παῦλον, ὅτι μετὰ τὸ δειπνῆσαι ἐχαρίσατο τῷ δεσμοφύλακι τὸ βάπτισμα.

[00169] Τολμῶ λέγειν, καθελέτωσαν καὶ αὐτὸν τὸν Χριστὸν, ὅτι μετὰ τὸ δεῖπνον τοῖς μαθηταῖς τὴν κοινωνίαν ἐχαρίσατο.

[00170] Ἀλλ' εἰκότα καὶ μεγάλα ἡμῖν ταῦτα·

[00171] ταῦτα φαιδρὰ τῆς εἰρήνης·

[00172] ταῦτα τοῦ λαοῦ τὰ ἐγκώμια.

[00173] Ἐμοῦ ὁ στέφανος, ὑμῶν ὁ καρπός.

[00174] Ἀλλ' οἴδατε, ἀγαπητοὶ, διὰ τί με θέλουσι καθελεῖν.

[00175] Ὅτι τάπητας οὐχ ἥπλωσα, οὔτε σηρικὰ ἱμάτια οὐκ ἐνεδυσάμην, καὶ ὅτι τὴν γαστριμαργίαν αὐτῶν οὐ παρεμυθησάμην.

[00176] Ἤνθησαν γὰρ τὰ ἔγγονα τῆς ἀσπίδος, ἔτι περιλέλειπται τῆς Ἰεζάβελ ὁ σπόρος·

[00177] ἔτι δὲ καὶ ἡ χάρις τῷ Ἠλίᾳ συναγωνίζεται.

[00178] Φέρε δέ μοι εἰς μέσον τὸν θαυμαστὸν καὶ πλούσιον τῆς ζωῆς κήρυκα, Ἰωάννην λέγω, τὸν πένητα, καὶ ἕως λύχνου μὴ κτησάμενον·

[00179] εἶχε γὰρ τὴν λαμπάδα τοῦ Χριστοῦ·

[00180] οὗ τὴν κεφαλὴν ἐπεθύμησεν ἡ τῆς Εὔας συλλειτουργὸς, ἡ τῶν ἁγίων ἐμπόδιον γενομένη, ἡ τοὺς προφήτας διώξασα, ἡ τὴν ἐν δόλῳ νηστείαν κηρύξασα, ἡ ὁμότιμον τοῦ ὀνόματος τῆς ἐχίδνης ἐπισταμένη τὴν ὄρχησιν, ἐν τῷ ἀρίστῳ τῷ ἀτελεῖ ὀρχησαμένη.

[00181] Οὐκ ἐπεθύμησε ζωὴν, οὐκ ἐπεθύμησε χρημάτων ὄγκον, οὐ βασιλείας ἀξίωμα, οὐκ ἄλλης τινὸς περιουσίας.

[00182] Ἀλλ' εἰπέ μοι, ἄνθρωπε, τί ἐπεθύμησε;

[00183] Κεφαλὴν ἀνθρώπου.

[00184] Τί δὲ λέγω;

[00185] Οὐ μόνον ἀνθρώπου, ἀλλ' εὐαγγελιστοῦ.

[00186] Ἀλλ' οὐκ ἐνίκησε λαβοῦσα τὴν κεφαλήν.

[00187] Ἔτεμε γὰρ τὴν κεφαλὴν αἰτησαμένη, τὴν ἄνομον ἐπιθυμίαν σπουδαίως διὰ πίνακος δεξαμένη.

[00188] Βλέπε, καὶ θαύμασον τοῦ Θεοῦ τὴν δύναμιν.

[00189] Διήλεγχεν ὁ ἀναίτιος, ἀπετμήθη·

[00190] ἀλλ' [52.432] ὁ ἀποτμηθεὶς ἐν δεξιᾷ τοῦ Χριστοῦ, ἡ δὲ ἀπαραίτητον κόλασιν ἐκδέχεται.

[00191] Πάλιν ἐκείνης τὸ σπέρμα, ὁ σπόρος ὁ ἀκανθώδης ἐπιζητεῖ καὶ σπεύδει.

[00192] Ἀλλ' Ἡρωδιὰς Ἰωάννου τὴν κεφαλὴν ζητοῦσα πάλιν ὄρχησιν, οὐχ ἣν τοῖς ποσὶ παίζομεν, ἀλλὰ τὴν τῆς Μαρίας ἐπερειδομένην.

[00193] Πάλιν βοᾷ καὶ λέγει Ἰωάννης·

[00194] Οὐκ ἔξεστί σοι τὴν γυναῖκα ἔχειν τοῦ ἀδελφοῦ σου.

[00195] εʹ.

[00196] Ἀλλὰ τί εἴπω;

[00197] Δακρύων ὁ παρὼν καιρός·

[00198] πάντα γὰρ εἰς ἀδοξίαν ἐκτρέχει, καὶ πάντα χρόνος κρίνει.

[00199] Χρυσὸς τὸ ὅλον δοξάζει.

[00200] Ἀλλὰ φέρε μοι τὸν ἅγιον Δαυῒδ τὸν λέγοντα καὶ βοῶντα·

[00201] Χρυσὸς ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.

[00202] Ἀλλ' εἰπέ μοι, τίς ἦν οὗτος ὁ ταύτην τὴν φωνὴν ἐπαφείς;

[00203] Οὐχὶ τὸ τῆς βασιλείας ἐπὶ τῆς κορυφῆς συγκείμενον εἶχεν;

[00204] οὐκ ἐν τῇ βασιλικῇ ἐξουσίᾳ διέταττεν;

[00205] Ἀλλ' οὐ πρὸς ἁρπαγὴν ἔβλεπεν, οὐκ εἰς καθαίρεσιν εὐσεβείας ἦν αὐτῷ τὸ φρόνημα, οὐδὲ μέριμνα θησαυρῶν, ἀλλὰ τῆς στρατοπέδων συλλογῆς·

[00206] οὐ γυναικὸς συγκατάθεσιν.

[00207] Φεύγετε οὖν, γυναῖκες, τὰς ἀλλοτρίας συλλογάς·

[00208] μὴ συμβουλεύετε τοῖς ἀνδράσι συμβουλίαν κακήν·

[00209] ἀλλ' ἀσφαλίσθητε τοῖς λεχθεῖσιν.

[00210] Ἆρα ἐσβέσαμεν ὑμῶν τὴν φλόγα;

[00211] ἆρα ἐμαλάχθη ὑμῖν ἡ καρδία;

[00212] Ἀλλ' οἶδα ὅτι ὠφεληθήσεσθε μὲν αἱ τῆς Μαρίας θυγατέρες·

[00213] ἄλλαι δὲ ἄνευ οἴνου κεκορεσμέναι καὶ μεθύουσαι τῇ φιλαργυρίᾳ, ὡς ὁ μακάριος Παῦλος βοᾷ καὶ κηρύττει λέγων·

[00214] Ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία.

[00215] Οὕτω καὶ αἱ ἀσύνετοι γυναῖκες ἀποφράττουσιν ἑαυτῶν τὰ ὦτα, καὶ ἀντὶ σπόρου ἀγαθοῦ ἀκάνθας τίκτουσιν.

[00216] Ἀλλὰ, παρακαλῶ, μὴ ἡμῶν τὸν σπόρον ὡς ἐπὶ πέτραν καταβάλλωμεν.

[00217] Χριστοῦ ἐσμεν γεώργιον, παρ' οὗ ἀκούσωμεν·

[00218] Εὖ, δοῦλε ἀγαθὲ, εἴσελθε εἰς τὸν οἶκόν μου·

[00219] μὴ ἀντὶ τῆς φωνῆς ταύτης λεχθῇ, Εὖ, δοῦλε κακέ.

[00220] Ἀλλὰ, παρακαλῶ, λαμψάτω ὑμῶν ἡ πολιτεία ἔμπροσθεν τῶν ἀνθρώπων, μὴ μωράνωμεν ἡμῶν τὸ ἅλας, ἀλλὰ δοξάσωμεν, εὐχαριστήσωμεν, οἱ πλούσιοι τῷ πλουσίῳ, οἱ πένητες τῷ φιλανθρώπῳ, καὶ φιλοπτώχῳ Χριστῷ, οἱ δυνατοὶ τῇ κραταιᾷ χειρὶ αὐτοῦ.

[00221] Καὶ ταῦτα μὲν περὶ ὑμῶν.

[00222] Ἴσως δὲ συγχωρεῖ ὁ Θεὸς ταῦτά με πάσχειν ἅπερ βουλεύονται κατ' ἐμοῦ, ἵνα ἐν συμφοραῖς δοκιμάσῃ τὰ κατ' ἐμέ·

[00223] ὅτι ἐν τοῖς πόνοις ἐναπόκειται νίκη πάντως, καὶ ἐν τοῖς ἀγῶσιν ἡτοίμασται στέφανος.

[00224] Καὶ γὰρ ὁ θεσπέσιος Παῦλος ἔλεγε·

[00225] Τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα·

[00226] λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος·

[00227] οὗ στεφάνου καταξιώσει ὑμᾶς ὁ τῶν ὅλων Δεσπότης εἰς τοὺς αἰῶνας.

[00228] Ἀμήν.

[00229] ἀὰ

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - Sermo antequam iret in exsilium**
**Litterarum Omnium Conspectus: 130 Litterae, quae repetitae sunt in 9,541 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 737 | Α | 0913 | 4 |
| β | 0946 | 55 | Β | 0914 | 1 |
| γ | 0947 | 166 | Γ | 0915 | 2 |
| δ | 0948 | 158 | Δ | 0916 | 0 |
| ε | 0949 | 535 | Ε | 0917 | 13 |
| ζ | 0950 | 28 | Ζ | 0918 | 0 |

| | | | | | |
|---|---|---|---|---|---|
| η | 0951 | 150 | Η | 0919 | 1 |
| θ | 0952 | 134 | Θ | 0920 | 11 |
| ι | 0953 | 400 | Ι | 0921 | 3 |
| κ | 0954 | 313 | Κ | 0922 | 15 |
| λ | 0955 | 340 | Λ | 0923 | 4 |
| μ | 0956 | 379 | Μ | 0924 | 11 |
| ν | 0957 | 715 | Ν | 0925 | 1 |
| ξ | 0958 | 22 | Ξ | 0926 | 1 |
| ο | 0959 | 607 | Ο | 0927 | 22 |
| π | 0960 | 300 | Π | 0928 | 15 |
| ρ | 0961 | 333 | Ρ | 0929 | 2 |
| ς | 0962 | 297 | • | 0930 | 0 |
| σ | 0963 | 354 | Σ | 0931 | 5 |
| τ | 0964 | 653 | Τ | 0932 | 21 |
| υ | 0965 | 146 | Υ | 0933 | 3 |
| φ | 0966 | 67 | Φ | 0934 | 3 |
| χ | 0967 | 71 | Χ | 0935 | 9 |
| ψ | 0968 | 11 | Ψ | 0936 | 0 |
| ω | 0969 | 122 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 2 | | | 0 |
| ῥ | 8165 | 4 | Ῥ | 8172 | 1 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 113 | έ | 8051 | 167 | ή | 8053 | 41 | ί | 8055 | 160 | ό | 8057 | 80 | ύ | 8059 | 80 | ώ | 8061 | 19 |
| ὰ | 8048 | 91 | ὲ | 8050 | 41 | ὴ | 80852 | 91 | ὶ | 8054 | 126 | ὸ | 8056 | 93 | ὺ | 8058 | 7 | ὼ | 8060 | 5 |
| ᾶ | 8118 | 16 | | | 0 | ῆ | 8134 | 49 | ῖ | 8150 | 77 | | | 0 | ῦ | 8166 | 95 | ῶ | 8182 | 64 |
| ἀ | 7936 | 116 | ἐ | 7952 | 129 | ἠ | 7968 | 5 | ἰ | 7984 | 54 | ὀ | 8000 | 8 | ὐ | 8016 | 113 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 6 | ἑ | 7953 | 4 | ἡ | 7969 | 39 | ἱ | 7985 | 14 | ὁ | 8001 | 30 | ὑ | 8017 | 52 | ὡ | 8033 | 2 |
| ἂ | 7938 | 7 | ἒ | 7954 | 0 | ἢ | 7970 | 3 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 1 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 3 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 14 | ἔ | 7956 | 23 | ἤ | 7972 | 2 | ἴ | 7988 | 7 | ὄ | 8004 | 4 | ὔ | 8020 | 5 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 3 | ἕ | 7957 | 3 | ἥ | 7973 | 2 | ἵ | 7989 | 6 | ὅ | 8005 | 18 | ὕ | 8021 | 1 | ὥ | 8037 | 4 |
| ἆ | 7942 | 1 | | | 0 | ἦ | 7974 | 5 | ἶ | 7990 | 9 | | | 0 | ὖ | 8022 | 5 | ὦ | 8038 | 2 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 4 | | | 0 | ὗ | 8023 | 7 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 1 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 7 | | | 0 | ῃ | 8131 | 13 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 12 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 7 | | | 0 | ῇ | 8135 | 17 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 21 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - Sermo antequam iret in exsilium**

**Verborum Omnium Conspectus: 969Verba, quae repetita sunt in 3,700,501 occasionibus**

ἀ [00092]
α [00002]
ἀὰ [00229]
ἀγαθὲ [00218]
ἀγαθοῦ [00215]
ἀγάπη [00086] [00119]
ἀγάπῃ [00137] [00138]
ἀγάπην [00018] [00100] [00155]
ἀγαπητοὶ [00174]
ἀγγέλων [00161]
ἅγιον [00200]
ἁγίων [00180]
ἀγῶνα [00151] [00156]
ἀγωνοθέτην [00156]
ἀγώνων [00134]
ἀγῶσιν [00223]
ἀδελφοὶ [00136]
ἀδελφοῦ [00194]
ἀδοξίαν [00198]
ᾄδου [00046]
ἀεὶ [00144]
Ἀεὶ [00101]
ἀθανασίας [00129] [00146]
ἀθάνατα [00057]
αἱ [00129] [00212] [00215]
αἱμάσσεις [00028]
αἰτησαμένη [00187]
αἰῶνας [00227]
αἰῶνος [00096]
ἄκαιρον [00163]
ἀκάνθας [00215]
ἀκανθώδης [00191]
ἀκέραιον [00133]
ἀκίνητος [00103]
ἀκούεις [00085]
ἀκουόντων [00139]
ἀκουστικώτερον [00140]
ἀκούσωμεν [00217]
ἀκριβείας [00164]
ἀκτῖνα [00137] [00138]
ἀκύμαντος [00090]
ἀλαζονευόμενος [00069]
ἅλας [00220]
ἀλγήσω [00131]
ἄλειμμα [00146]
ἀληθείας [00157]
ἀλλ [00004] [00029] [00076] [00102] [00119] [00154] [00185] [00190] [00209]
Ἀλλ [00011] [00026] [00112] [00148] [00166] [00170] [00174] [00182] [00186] [00192] [00202] [00205] [00212]
ἀλλὰ [00025] [00028] [00066] [00069] [00074] [00113] [00127] [00152] [00192] [00205] [00220]
Ἀλλὰ [00013] [00196] [00200] [00216] [00220]
ἄλλαι [00213]
ἄλλης [00181]

ἀλλοτρίας [00207]
ἁμαρτήματα [00131]
ἀμβλύνεις [00028]
Ἀμὴν [00228]
ἀμήχανον [00034]
ἁμιλλᾶσθε [00145]
ἂν [00100] [00135]
ἀναγινώσκω [00093]
ἀνάθεμα [00159]
ἀναίτιος [00189]
ἀνδράσι [00208]
ἀνδρὸς [00021]
ἀνέλαβε [00062]
ἀνέλαβεν [00062]
ἄνευ [00213]
ἀνηλίσκετο [00083]
ἀνθοῦσαν [00157]
ἄνθρωπε [00030] [00182]
ἀνθρωπίναις [00067]
Ἄνθρωπον [00033]
ἄνθρωπος [00020] [00022] [00023] [00068] [00068]
ἀνθρώπου [00183] [00185]
ἀνθρώπων [00220]
ἄνομον [00187]
ἀντὶ [00215] [00219]
Ἀντὶ [00022]
ἀξίωμα [00181]
ἁπαλὴ [00078]
ἁπαλωτέρα [00079]
ἀπαραίτητον [00190]
ἀπειλαί [00141]
ἀπειρόγαμος [00078]
ἀπελθεῖν [00100]
ἅπερ [00222]
ἀπερίτρεπτον [00065]
ἀπερίτρεπτος [00104]
ἀπετάξασθε [00144]
ἀπετμήθη [00189]
ἀπηγορεύθη [00081]
ἀπηλλάγητε [00145]
ἀπιστεῖς [00048]
ἀποδίδωμι [00127]
ἀποθανεῖν [00010]
ἀποθάνη [00121]
ἀπόκειταί [00226]
ἀπονοούμενος [00069]
ἀποσπάσαι [00019]
ἀποτμηθεὶς [00190]
ἀποτμηθῆναι [00128]
ἀποφράττουσιν [00215]
ἄρα [00211]
Ἄρα [00210]
ἀράχνης [00099]
ἀρέσω [00162]
ἀριθμηθείην [00160]
ἀρίστῳ [00180]
ἀρκεῖ [00134]
ἁρπαγὴν [00205]
ἀρχόντων [00098]
ἀσθένειαν [00066]
ἀσπίδος [00176]
ἀσύνετοι [00215]
ἀσφάλεια [00090] [00094]
ἀσφαλείᾳ [00133]
ἀσφαλείας [00129]
ἀσφαλές [00165]
ἀσφαλίσθητε [00209]
ἄτακτον [00066]
ἀτελεῖ [00180]
Αὔριον [00114]
αὐτὰ [00029]
αὗται [00129]
αὐτὴν [00025] [00040]
αὐτῆς [00012] [00046] [00080] [00080]
αὐτὸ [00093]
αὐτὸν [00169]
ΑΥΤΟΥ [00001]
αὐτοῦ [00022] [00022] [00037] [00039] [00087] [00089] [00128] [00220]
αὐτῷ [00092] [00112] [00205]
αὐτῶν [00085] [00175]
ἀφορμή [00129]
ἀφρὸν [00029]

β [00047]
βακτηρία [00090] [00104]
βάπτισμα [00168]
βασιλείας [00181] [00203]
βασιλικῇ [00204]
βίῳ [00138]
βιωτικῶν [00144]
βλάψαι [00025]
Βλέπε [00188]
βλέπω [00155] [00156] [00157]
βοᾷ [00193] [00213]
βούλει [00102]
βούλεται [00105] [00106] [00107]
βουλεύονται [00222]
βουλόμενος [00069]
βοῶντα [00200]

γ [00108]
γάμον [00024]
γὰρ [00005] [00019] [00020] [00021] [00061] [00067] [00068] [00072] [00088] [00101] [00121] [00128] [00130] [00131] [00135] [00137] [00149] [00153] [00176] [00179] [00187] [00198] [00224]
γάρ [00027] [00035]
γαστριμαργίαν [00175]
γενέσθαι [00105]
γενέσθω [00101]
γενναῖοι [00142]
γένοιτο [00069]
γενομένη [00180]
γενομένων [00064]
γένωμαι [00161]

**γεώργιον** [00217]
**γῆ** [00012] [00044] [00059]
**γῇ** [00144]
**γῆν** [00040]
**γινέσθω** [00105]
**γλυκύτεροι** [00136]
**γράμματα** [00094]
**Γραμματεῖον** [00089]
**γραμματεῖον** [00091]
**γυναῖκα** [00194]
**γυναῖκες** [00207] [00215]
**γυναικὶ** [00022]
**Γυναικὸς** [00084]
**γυναικὸς** [00021] [00206]

**δ** [00147]
**Δακρύων** [00197]
**Δαυῒδ** [00200]
**δὲ** [00026] [00034] [00044] [00055] [00059] [00062] [00083] [00136] [00138] [00139] [00140] [00163] [00165] [00177] [00184] [00190] [00213] [00222]
**δέ** [00178]
**δεδεμένοι** [00074]
**δέδοικα** [00016]
**δεδοίκαμεν** [00004] [00008]
**δεῖνα** [00102] [00102]
**δειπνῆσαι** [00168]
**δεῖπνον** [00169]
**δεξαμένη** [00187]
**δεξιᾷ** [00190]
**δεσμοφύλακι** [00168]
**Δεσπότης** [00227]
**δῆλον** [00014]
**δήμευσιν** [00013]
**δῆμος** [00086]
**δήμου** [00084] [00121]
**δι** [00131]
**Διὰ** [00132]
**διὰ** [00017] [00063] [00063] [00066] [00066] [00100] [00130] [00174] [00187]
**διάβολε** [00071]
**διάβολος** [00070] [00111]
**διακόψαι** [00120]
**διαλύει** [00029]
**διαλύονται** [00029]
**διαλῦσαι** [00006]
**διασπάσαι** [00024]
**διαφορᾷ** [00151]
**διεγείρηται** [00098]
**Διειργόμεθα** [00119]
**διέταττεν** [00204]
**Διήλεγχεν** [00189]
**δικαιοσύνης** [00226]
**Διὸ** [00018]
**διστάσαντα** [00066]
**διώξασα** [00180]
**δόγμασί** [00148]
**δοκιμάσῃ** [00222]
**δόλῳ** [00180]
**δοξάζει** [00199]
**δοξάσωμεν** [00220]
**δοῦλε** [00218] [00219]
**δρόμον** [00225]
**δύναμαι** [00123]
**δυνάμεθα** [00014]
**δυνάμει** [00088]
**δυνάμενος** [00025]
**δύναμιν** [00031] [00039] [00188]
**δύναμις** [00081]
**δύνασαι** [00024] [00058]
**δύναται** [00006] [00020] [00042]
**δυνατοὶ** [00220]
**δυνατώτερον** [00030]
**δυνήσεται** [00019] [00120]
**δύο** [00022] [00085]

**ε** [00195]
**ἐὰν** [00033] [00034] [00201]
**Ἐὰν** [00125]
**ἑαυτοῦ** [00026]
**ἑαυτῶν** [00215]
**ἐβάπτισα** [00163] [00167]
**ἐβάπτισας** [00158]
**ἔβλεπεν** [00205]
**ἔγγονα** [00176]
**ἐγειρέσθω** [00007]
**ἐγένεσθε** [00142] [00143]
**ἐγένετο** [00079]
**ἐγκαρτερεῖν** [00148]
**ἐγκώμια** [00172]
**ἐγὼ** [00115] [00125]
**Ἐγὼ** [00096] [00127]
**ἐδαπανᾶτο** [00082]
**ἐδόκουν** [00150]
**ἑδραῖοι** [00074]
**ἔζευξεν** [00023]
**Εἰ** [00021] [00024] [00042] [00048] [00058] [00105] [00106] [00159]
**εἰ** [00017] [00076] [00100] [00163]
**εἴ** [00102]
**εἶ** [00046]
**εἴδετε** [00066]
**εἰκότα** [00170]
**εἰκότως** [00060]
**εἰμι** [00085] [00096]
**εἶναί** [00106]
**εἶναι** [00150]
**εἰπέ** [00008] [00011] [00182] [00202]
**εἰπεῖν** [00153]
**εἴπω** [00196]
**εἰρήνης** [00171]
**εἰς** [00014] [00022] [00029] [00032] [00085] [00114] [00134] [00139] [00144] [00149] [00160] [00178] [00198] [00205] [00218] [00227]
**εἷς** [00076]
**εἴσαγε** [00032]
**εἴσελθε** [00218]
**Εἰσῆλθε** [00078]

**εἰσηνέγκαμεν** [00014]
**εἰσι** [00085]
**εἶχε** [00179]
**εἶχεν** [00203]
**ἔκαμψεν** [00141]
**ἐκδέχεται** [00190]
**ἐκεῖ** [00085] [00115] [00116]
**ἐκεῖνα** [00094]
**ἐκείνην** [00145]
**ἐκείνης** [00191]
**ἐκεῖνό** [00090] [00090]
**Ἐκεῖνό** [00090]
**ἐκείνων** [00057]
**Ἐκκλησία** [00043] [00055] [00061] [00063] [00072] [00073]
**Ἐκκλησίαν** [00024] [00034] [00042] [00046] [00063] [00070] [00071]
**Ἐκκλησίας** [00030] [00049] [00062]
**ἐκκόψῃ** [00111]
**ἐκτρέχει** [00198]
**ἔλαβες** [00080]
**ἔλεγε** [00224]
**ἐμαλάχθη** [00211]
**ἐμαυτοῦ** [00148]
**ἐμὲ** [00026] [00026]
**ἐμέ** [00222]
**ἔμενεν** [00083]
**ἐμῆς** [00153]
**ἐμοὶ** [00015] [00094] [00099] [00103] [00103] [00104] [00122] [00124] [00124] [00124] [00126] [00129] [00136] [00136] [00136] [00136] [00136] [00136] [00136] [00146] [00146]
**Ἐμοὶ** [00010] [00129] [00165]
**ἐμοῦ** [00097] [00098] [00222]
**Ἐμοῦ** [00173]
**ἐμπόδιον** [00180]
**ἔμπροσθεν** [00220]
**ἐν** [00072] [00085] [00126] [00133] [00138] [00138] [00180] [00180] [00190] [00204] [00222] [00223] [00223]
**ἓν** [00117]
**Ἐν** [00073]
**ἐναπόκειται** [00223]
**ἐνεανιεύετο** [00082]
**ἐνεδυσάμην** [00175]
**ἐνέχυρον** [00087]
**ἐνικήθης** [00033]
**ἐνικήθησαν** [00058]
**ἐνίκησας** [00033]
**ἐνίκησε** [00186]
**ἐνταῦθα** [00067] [00106]
**ἔξεες** [00080]
**ἐξελεύσομαι** [00114]
**ἐξενεγκεῖν** [00014]
**ἔξεστί** [00194]
**ἐξορίαν** [00011]
**ΕΞΟΡΙΑΣ** [00001]
**ἐξουσίᾳ** [00204]
**ἐπανέλθωμεν** [00166]
**ἐπαφείς** [00202]
**ἐπεθύμησε** [00181] [00181] [00182]
**ἐπεθύμησεν** [00180]
**ἐπεθύμουν** [00144]
**ἐπεὶ** [00029]
**ἐπειδὴ** [00133]
**Ἐπειδὴ** [00070]
**ἐπερειδομένην** [00192]
**ἔπηξε** [00038]
**ἐπὶ** [00005] [00040] [00046] [00066] [00166] [00203] [00216]
**Ἐπιβλέπει** [00040]
**ἐπιβουλαὶ** [00129]
**ἐπιβουλεύομαι** [00130]
**ἐπιζητεῖ** [00191]
**ἐπιθυμίαν** [00187]
**ἐπιθυμῶ** [00016]
**ἐπιλαθέσθαι** [00123]
**ἐπισκόπων** [00160]
**ἐπισταμένη** [00180]
**ἐπιχειρεῖ** [00038]
**ἐπλήσθη** [00058]
**ἐποίησα** [00159] [00163]
**ἐποίησεν** [00111] [00141]
**ἐργάζῃ** [00026]
**ἔρωτα** [00132]
**ἐσβέσαμεν** [00210]
**ἔσβεσται** [00057]
**ἐσμεν** [00037] [00117] [00217]
**ἔσομαι** [00159]
**ἔσονται** [00022]
**ἔστη** [00070]
**ἑστήκαμεν** [00005]
**ἔστησε** [00042]
**Ἔστι** [00153]
**ἐστὶν** [00154]
**ἐστιν** [00035]
**ἐσφιγμένοι** [00074]
**ἐσφιγμένος** [00086]
**Ἔτεμε** [00187]
**ἔτι** [00176] [00177]
**ἕτοιμος** [00127]
**Εὐ** [00218] [00219]
**εὐαγγελιστοῦ** [00185]
**Εὔας** [00180]
**εὐδοκίμησις** [00124]
**εὐδοκιμῶ** [00125]
**εὐκαταφρόνητα** [00015]
**εὐλάβεια** [00083]
**εὑρήκαμεν** [00113]
**εὐσεβείας** [00058] [00205]
**εὐτελέστερα** [00099]
**εὐτυχημάτων** [00149]
**εὐχαῖς** [00110]
**εὐχαριστήσωμεν** [00220]
**εὐχαριστῶ** [00107]
**εὔχομαι** [00017]
**Ἔφαγες** [00158]
**ἔφαγον** [00163] [00167]
**ἐχαρίσατο** [00168] [00169]
**ἔχειν** [00194]
**ἐχίδνης** [00180]
**ἔχω** [00106]
**Ἔχω** [00087]
**ἕως** [00096] [00178]

**ζῇ** [00121]
**ζηλωτὴς** [00150]
**ζῇν** [00010]
**ζῆσαι** [00017]
**ζητοῦσα** [00192]
**ζωὴ** [00124] [00126] [00146]
**ζωὴν** [00181]
**ζωῆς** [00178]

**ἡ** [00006] [00012] [00044] [00055] [00058] [00059] [00061] [00063] [00070] [00072] [00073] [00081] [00081] [00083] [00083] [00091] [00121] [00137] [00137] [00138] [00177] [00180] [00180] [00180] [00180] [00180] [00190] [00211] [00214] [00220]
**ἣ** [00033] [00033] [00085]
**Ἡ** [00043] [00134] [00138]
**Ἢ** [00115]
**ἤγαγεν** [00068]
**ἠγρυπνήσατε** [00141]
**ἡδράζετο** [00041]
**ἠθέλησαν** [00049]
**ἠθέλησε** [00070]
**ἠκονημένα** [00051]
**ἤλθομεν** [00067]
**Ἠλίᾳ** [00177]
**ἥλιον** [00056]
**ἡμᾶς** [00019]
**ἡμέρας** [00096] [00141]
**ἡμῖν** [00170]
**ἡμῶν** [00216] [00220]
**ἧν** [00192]
**ἦν** [00076] [00079] [00202] [00205]
**Ἤνθησαν** [00176]
**ἡνώμεθα** [00119]
**ἠπείλουν** [00152]
**ἥπλωσα** [00175]
**Ἡρωδιὰς** [00192]
**ἦσαν** [00058]
**ἡτοίμασται** [00223]
**Ἠτόνησε** [00081]

**θάλασσα** [00006]
**θάνατον** [00009] [00017]
**θάνατος** [00120] [00129]
**θαῤ** [00018]
**θαῤῥῶ** [00088]
**θαύμασον** [00188]
**θαυμαστὸν** [00178]
**θέλημα** [00101]
**θέλουσι** [00174]
**Θεὸν** [00155]
**Θεὸς** [00020] [00023] [00035] [00038] [00105] [00222]
**Θεοῦ** [00024] [00188]
**θερμοτέρους** [00113]
**θεσπέσιος** [00224]
**Θεῷ** [00061] [00162]
**θηρίων** [00051]
**θησαυρῷ** [00126]
**θησαυρῶν** [00205]
**θλίψεως** [00153]
**θορυβείτω** [00064] [00109]
**θυγατέρες** [00212]
**θυμοί** [00098]

**Ἰδοὺ** [00074]
**Ἰεζάβελ** [00176]
**Ἰησοῦ** [00007]
**ἱμάτια** [00175]
**ἵνα** [00031] [00068] [00111] [00130] [00131] [00222]
**ἰσχύει** [00007]
**ἰσχύεις** [00024]
**ἰσχὺν** [00026]
**ἰσχυροτέρα** [00043]
**ἰσχυρότεροι** [00037]
**ἰσχυρότερος** [00035]
**Ἴσως** [00222]
**Ἰωάννην** [00178]
**Ἰωάννης** [00193]
**Ἰωάννου** [00192]

**κἀγώ** [00116]
**καθαίρεσιν** [00205]
**καθαιροῦντες** [00151]
**καθελεῖν** [00174]
**Καθελέτωσαν** [00168]
**καθελέτωσαν** [00169]
**καιρὸς** [00153]
**καιρός** [00197]
**κακέ** [00219]
**κακήν** [00208]
**κακῶν** [00214]
**καλὸς** [00128]
**κάμινοι** [00051]
**Κἂν** [00091] [00098] [00121]
**κἂν** [00098] [00098]
**καρδία** [00211]
**καρδίαν** [00201]
**καρπός** [00173]
**κατ** [00098] [00222] [00222]
**καταβάλλωμεν** [00216]
**καταγέλαστα** [00015]
**καταλείψει** [00022]
**καταλύεις** [00026]
**καταλῦσαι** [00024]
**καταλύσῃ** [00031] [00068]
**καταξιώσει** [00227]
**καταποντίζεσθαι** [00066]
**καταποντίσαι** [00007]
**καταποντισθῶμεν** [00004]

**κατεφρονήσατε** [00144]
**κατέχω** [00089] [00091]
**κατισχύσουσιν** [00046]
**κεῖται** [00126]
**κεκορεσμέναι** [00213]
**κελεύει** [00041]
**κέντρα** [00027] [00028]
**κέρδος** [00010]
**κεφαλὰς** [00128]
**κεφαλὴ** [00118]
**Κεφαλὴν** [00183]
**κεφαλὴν** [00180] [00187] [00192]
**κεφαλήν** [00186]
**κεφαλῆς** [00118]
**κηροῦ** [00079]
**κήρυκα** [00178]
**κηρύξασα** [00180]
**κηρύττει** [00213]
**κλυδώνιον** [00003]
**κοινωνίαν** [00169]
**κόλασιν** [00190]
**κόρη** [00078]
**κορυφῆς** [00203]
**κόσμον** [00014]
**κόσμου** [00015]
**κραταιᾷ** [00220]
**κρίνει** [00198]
**κτησάμενον** [00178]
**κύματα** [00003] [00007] [00029] [00098]
**Κύριε** [00101]
**Κύριον** [00036]
**Κυρίου** [00012] [00085]

**λαβοῦσα** [00186]
**λακτίζειν** [00027]
**λαμπάδα** [00179]
**λάμπει** [00056]
**λαμπρότερον** [00026]
**λαμψάτω** [00220]
**λαοῦ** [00172]
**λέγει** [00021] [00193]
**λέγειν** [00165] [00169]
**λέγοντα** [00200]
**λέγοντος** [00085]
**Λέγουσί** [00158]
**Λέγουσιν** [00167]
**λέγω** [00069] [00075] [00101] [00139] [00143] [00164] [00178] [00184]
**λέγων** [00164] [00213]
**λεχθεῖσιν** [00209]
**λεχθῇ** [00219]
**λήθη** [00054]
**λιμὴν** [00090]
**λιτανείας** [00111]
**λιτανεῖον** [00114]
**λόγοι** [00044] [00045] [00059]
**λόγῳ** [00048]
**λοιπὸν** [00226]
**λυπηθῶ** [00130]
**λυπούμενον** [00156]
**Λῦσον** [00031]
**λύχνου** [00178]

**μὰ** [00155]
**μαθηταῖς** [00169]
**Μαινέσθω** [00006]
**μακαρίαν** [00145]
**μακάριος** [00213]
**μάλα** [00060]
**μαλακωτέρους** [00141]
**μᾶλλον** [00024] [00042] [00136]
**μαραινόμενον** [00157]
**Μαρίας** [00192] [00212]
**μάρτυρες** [00077]
**μάχης** [00026]
**με** [00106] [00138] [00148] [00174] [00222]
**μεγάλα** [00170]
**μεθ** [00096] [00114]
**μεθύουσαι** [00213]
**μεῖναι** [00133] [00133]
**μέλη** [00136]
**μέλλοντα** [00066]
**μέλλοντι** [00138]
**μέμνηται** [00121]
**μὲν** [00026] [00151] [00165] [00212] [00221]
**μέριμνα** [00205]
**μέσον** [00178]
**μέσῳ** [00085]
**μετ** [00097] [00161]
**μετέστητε** [00144]
**Μηδεὶς** [00109]
**Μηδὲν** [00064]
**μηδένα** [00133]
**μῆκος** [00141]
**μητέρα** [00022]
**μίαν** [00022]
**Μιαρὲ** [00071]
**μιᾶς** [00084]
**μοι** [00008] [00011] [00065] [00090] [00090] [00090] [00134] [00137] [00138] [00158] [00164] [00178] [00182] [00200] [00202] [00226]
**μόνον** [00185]
**μου** [00044] [00046] [00046] [00059] [00085] [00121] [00218]
**μοχθηρίᾳ** [00150]
**μυριάκις** [00127] [00128]
**μυρίας** [00128]
**μωράνωμεν** [00220]

**νηστείαν** [00180]
**νικᾶται** [00154]
**νίκη** [00223]
**νικῆσαί** [00034]
**νικῆσαι** [00058]

**νικῶσι** [00151]
**νομοθέτης** [00154]
**Νόμος** [00154]
**νῦν** [00018] [00153]

**ξίφη** [00051]

**ὁ** [00020] [00023] [00035] [00035] [00063] [00070] [00102] [00102] [00105] [00111] [00128] [00129] [00154] [00173] [00173] [00176] [00189] [00190] [00191] [00191] [00197] [00202] [00213] [00222] [00224] [00226] [00227]
**ὃ** [00020] [00023] [00164]
**ὅ** [00102]
**Ὁ** [00038] [00044] [00128]
**Ο** [00059]
**ὄγκον** [00181]
**ὀδόντες** [00051]
**οἱ** [00022] [00044] [00053] [00059] [00077] [00151] [00220] [00220] [00220]
**οἷά** [00077]
**οἶδα** [00212]
**οἶδας** [00077]
**οἴδατε** [00174]
**οἰκείᾳ** [00088]
**οἰκοδομήσω** [00046]
**οἶκόν** [00218]
**οἰκουμένη** [00058] [00091]
**οἴνου** [00213]
**οἷον** [00137]
**οἷς** [00150]
**οἶσθα** [00039]
**ὀκνηρὸν** [00165]
**ὀλίγοι** [00058]
**ὀλίγον** [00066]
**ὅλον** [00199]
**ὅλων** [00227]
**ΟΜΙΛΙΑ** [00001]
**ὁμότιμον** [00180]
**ὄνομά** [00085]
**ὀνόματος** [00180]
**ὀξέα** [00027]
**ὅπερ** [00144]
**ὅπου** [00115] [00116]
**Ὅπου** [00085] [00086] [00107]
**ὁρμὴν** [00066]
**ὀρχησαμένη** [00180]
**ὄρχησιν** [00180] [00192]
**ὁρῶ** [00148]
**ὅτε** [00058] [00058]
**ὅτι** [00014] [00075] [00150] [00158] [00167] [00168] [00169] [00175] [00212] [00223]
**Ὅτι** [00175]
**Οὐ** [00016] [00075] [00185]
**οὐ** [00004] [00006] [00016] [00017] [00017] [00020] [00024] [00025] [00029] [00044] [00046] [00052] [00059] [00063] [00066] [00071] [00074] [00084] [00086] [00112] [00118] [00118] [00141] [00141] [00164] [00175] [00181] [00205] [00206]
**οὗ** [00180] [00217] [00227]
**οὐδὲ** [00069] [00100] [00120] [00205]
**Οὐδεὶς** [00019]
**οὐδεμίαν** [00127]
**Οὐδὲν** [00014] [00030]
**οὐδὲν** [00014] [00141] [00163]
**Οὐκ** [00028] [00039] [00066] [00085] [00181] [00194]
**οὐκ** [00007] [00024] [00058] [00062] [00069] [00080] [00081] [00141] [00152] [00165] [00175] [00181] [00181] [00186] [00204] [00205]
**οὖν** [00023] [00168] [00207]
**οὐρανὸν** [00063] [00144]
**οὐρανόν** [00032]
**οὐρανὸς** [00059] [00063]
**οὐρανὸςκαὶ** [00044]
**Οὐρανοῦ** [00062]
**οὐρανοῦ** [00043] [00061]
**οὐσία** [00083]
**οὔτε** [00076] [00175]
**Οὗτος** [00103]
**οὗτος** [00129] [00202]
**Οὕτω** [00215]
**οὐχ** [00175] [00192]
**Οὐχὶ** [00203]
**ὀφειλὴν** [00127]

**πάθοιμι** [00135]
**παίζομεν** [00192]
**Πάλιν** [00191] [00193]
**πάλιν** [00192]
**παμμίαρε** [00071]
**πάντα** [00099] [00133] [00142] [00198] [00198]
**πάντων** [00035] [00214]
**πάντως** [00223]
**παρ** [00217]
**παραδέδονται** [00054]
**παραζηλοῦμεν** [00036]
**παρακαλῶ** [00018] [00216] [00220]
**παράκλησις** [00146]
**παραμυθία** [00146]
**παρεισελθεῖν** [00133]
**παρελεύσονται** [00044] [00059]
**παρέλθωσι** [00044] [00059]
**παρεμυθησάμην** [00175]
**πάρεστιν** [00086]
**παρέσχον** [00077]
**παρέχει** [00137]
**παρέχω** [00127]
**παρῃτησάμην** [00100]
**παρίσταντο** [00152]
**παρόντι** [00138]
**παρὼν** [00197]
**πάσας** [00096]
**πάσχειν** [00222]
**πατέρα** [00022]
**πατέρες** [00122] [00124] [00136]
**Παῦλον** [00168]
**Παῦλος** [00213] [00224]
**παύσομαι** [00164]
**πειθόντων** [00148]
**πελάγη** [00098]
**πένητα** [00178]

πένητες [00220]
πενίαν [00016]
περὶ [00021] [00111] [00132] [00153] [00221]
περιγενέσθαι [00049] [00084]
περιεγένοντο [00052]
περιεγένου [00071] [00076] [00084]
περιλέλειπται [00176]
περιουσίας [00181]
περιπατοῦντα [00066]
περιπέπτωκα [00150]
πέτρᾳ [00046]
πέτρα [00103]
πέτραν [00006] [00029] [00216]
πέτρας [00005] [00079]
Πέτρον [00066]
Πέτρος [00046]
πιθανὸν [00157]
πίνακος [00187]
πίπτοντα [00156]
πίστει [00074]
πίστευε [00048]
πίστεως [00066] [00081]
πίστιν [00065] [00080] [00225]
πιστῶν [00073]
πλέκει [00138]
πλευρὰς [00080]
πλήθει [00073]
πλῆθος [00075]
πλήρωμα [00012]
πλοῖον [00007]
πλούσιοι [00220]
πλούσιον [00178]
πλουσίῳ [00220]
πλοῦτον [00016]
πλοῦτος [00126]
πόδας [00028]
ποθεινοτέρα [00061]
Ποῖα [00095]
ποιεῖ [00040]
ποιμὴν [00128]
ποίμνη [00133]
ποίμνιον [00133]
Ποῖοι [00045]
ποιῶ [00133]
πολεμεῖς [00025]
πολεμῇς [00033] [00034]
πολεμήσαντες [00053]
πόλεμον [00031] [00032]
πολεμούμενον [00025]
πολεμοῦσαν [00155]
πόλιν [00042]
πόλις [00070]
πολῖται [00136]
πολιτεία [00220]
Πολλὰ [00003]
πολλὰ [00149]
πολλάκις [00078]
πολλῷ [00042]
πόνοις [00223]
πόσα [00050]
ποσὶ [00192]
Πόσοι [00049]
πόσοι [00051] [00074]
πόσῳ [00024]
Ποῦ [00053] [00055]
πράγμασι [00048]
πραγμάτων [00144] [00151] [00163]
ΠΡΟ [00001]
προβάτων [00128]
προκείμενον [00166]
προκοπήν [00017]
προκόψητε [00125]
πρὸς [00026] [00027] [00142] [00145] [00205]
προσδοκᾷς [00071] [00084]
προσέχετε [00110]
προσκολληθήσεται [00022]
προστίθεσθε [00201]
Πρόσχες [00164]
προφήτας [00180]
προχωρεῖ [00112]
πύλαι [00046]
πύργος [00103]
πυρὸς [00075]
πῶς [00058] [00123]

ῥέη [00201]
ῥεῖν [00018]
Ῥίζα [00214]
ῥίζαν [00160]

σαλεύειν [00038]
σαλευομένην [00042]
σαλεῦσαι [00070] [00071]
σάρκα [00022] [00062]
σαρκὸς [00081]
σε [00034]
σειόμενα [00041]
σεσαλευμένον [00069]
Σεσίγηνται [00054]
σήμερον [00100]
σηρικὰ [00175]
σιδήρῳ [00074]
Σκληρὸν [00027]
σοι [00027] [00077] [00194]
σὸν [00101]
σου [00031] [00194]
σπέρμα [00191]
σπεύδει [00191]
σπόρον [00216]
σπόρος [00176] [00191]
σπόρου [00215]
σπουδαιοτέρους [00113]

**σπουδαίως** [00187]
**σπουδὴν** [00111]
**στερεωτέρα** [00079]
**στέφανοι** [00146]
**στέφανόν** [00138]
**στέφανον** [00134]
**στέφανος** [00173] [00223] [00226]
**στεφάνου** [00227]
**στηρίξαι** [00069]
**στῆσαι** [00042]
**στρατοπέδων** [00205]
**στῦλοι** [00074]
**Σὺ** [00046]
**σὺ** [00102]
**συγκατάθεσιν** [00206]
**συγκείμενον** [00203]
**συγχωρεῖ** [00222]
**συλλειτουργὸς** [00180]
**συλλογάς** [00207]
**συλλογῆς** [00205]
**συμβουλεύετε** [00208]
**συμβουλίαν** [00208]
**συμφοραῖς** [00222]
**συναγωνίζεται** [00177]
**συνδέσμων** [00145]
**συνέζευξεν** [00020]
**συνηγμένοι** [00085]
**συντελείας** [00096]
**συσκευὴν** [00155] [00157]
**σφαγῆναι** [00127] [00128]
**σφοδρότερον** [00075]
**σῶμά** [00117]
**σῶμα** [00062] [00082] [00118] [00121] [00136]
**σώματος** [00118] [00145]

**Τὰ** [00057]
**τὰ** [00003] [00007] [00015] [00015] [00018] [00028] [00029] [00041] [00057] [00094] [00153] [00172] [00176] [00215] [00222]
**ταῖς** [00110]
**τάπητας** [00175]
**ταράττηται** [00091]
**Τὰς** [00080]
**τὰς** [00096] [00111] [00207]
**Ταῦτα** [00069] [00111] [00139] [00146]
**ταῦτά** [00222]
**ταῦτα** [00095] [00099] [00146] [00146] [00146] [00146] [00146] [00170] [00171] [00172] [00221]
**ταύτῃ** [00046]
**ταύτην** [00202]
**ταύτης** [00057] [00219]
**τεῖχος** [00094]
**Τέκνα** [00155]
**τέκνα** [00136]
**τετέλεκα** [00225]
**τετήρηκα** [00225]
**τῇ** [00022] [00046] [00119] [00133] [00144] [00150] [00151] [00204] [00213] [00220]
**τήγανα** [00050]
**τὴν** [00017] [00018] [00022] [00026] [00029] [00031] [00039] [00040] [00042] [00042] [00046] [00063] [00066] [00066] [00080] [00100] [00111] [00111] [00128] [00145] [00155] [00157] [00169] [00175] [00179] [00180] [00180] [00180] [00186] [00187] [00187] [00188] [00192] [00192] [00194] [00202] [00210] [00225]
**τῆς** [00005] [00026] [00049] [00066] [00081] [00081] [00096] [00153] [00157] [00171] [00176] [00176] [00178] [00180] [00180] [00192] [00203] [00203] [00205] [00212] [00219] [00226]
**ΤΗΣ** [00001]
**Τί** [00008] [00135] [00137] [00184]
**τί** [00140] [00143] [00174] [00182] [00196]
**τι** [00102] [00102]
**τίθησιν** [00128]
**τίκτουσιν** [00215]
**τίνα** [00097]
**τινας** [00148]
**τινὸς** [00181]
**τίς** [00038] [00202]
**τὸ** [00003] [00007] [00010] [00010] [00012] [00069] [00082] [00082] [00085] [00091] [00101] [00121] [00133] [00157] [00165] [00166] [00168] [00168] [00169] [00191] [00199] [00203] [00205] [00220]
**τοιοῦτον** [00137]
**τοῖς** [00048] [00148] [00169] [00192] [00208] [00209] [00223] [00223]
**τοίχοις** [00072]
**τοίχων** [00071]
**Τολμῶ** [00169]
**Τὸν** [00009] [00225]
**τὸν** [00014] [00022] [00025] [00031] [00036] [00056] [00063] [00066] [00132] [00132] [00144] [00151] [00151] [00155] [00156] [00156] [00169] [00178] [00178] [00200] [00200] [00216] [00218]
**τόπῳ** [00119]
**Τοσαύτας** [00141]
**τοσοῦτον** [00075]
**τοσοῦτος** [00086]
**τοσούτου** [00084]
**ΤΟΥ** [00001]
**Τοῦ** [00012]
**τοῦ** [00007] [00015] [00061] [00085] [00096] [00121] [00136] [00145] [00172] [00179] [00180] [00188] [00190] [00194]
**τοὐναντίον** [00149]
**τοὺς** [00028] [00180] [00227]
**Τοῦτό** [00065]
**Τοῦτο** [00144]
**τοῦτο** [00103] [00104] [00105] [00159]
**τούτου** [00022] [00136]
**τραύματα** [00077]
**τρεῖς** [00085]
**τρέμειν** [00040]
**τρόπον** [00151]
**τύραννοι** [00049]
**τῷ** [00048] [00061] [00073] [00119] [00126] [00138] [00138] [00168] [00177] [00180] [00180] [00220] [00220]
**τῶν** [00064] [00066] [00066] [00073] [00128] [00134] [00140] [00144] [00145] [00149] [00151] [00163] [00180] [00214] [00220] [00227]

**ὑβριζόμενον** [00155]
**ὑδάτων** [00066] [00066]
**ὑμᾶς** [00064] [00109] [00113] [00132] [00133] [00141] [00141] [00227]
**ὑμεῖς** [00115] [00116] [00122] [00124] [00124] [00124] [00125] [00136] [00136] [00136] [00136] [00136] [00136]
**Ὑμεῖς** [00136]
**ὑμετέρα** [00137] [00138]
**ὑμετέραν** [00017] [00018] [00100] [00155]
**ὑμετέρῳ** [00126]
**ὑμῖν** [00165] [00211]
**ὑμῶν** [00069] [00096] [00114] [00123] [00127] [00135] [00140] [00173] [00210] [00220] [00221]
**ὑπὲρ** [00127] [00128] [00135]
**Ὑπὲρ** [00056]
**ὑπόθεσις** [00129] [00134] [00146]
**ὑπομιμνήσκω** [00018]

**φαιδρὰ** [00171]
**Φέρε** [00178]
**φέρε** [00200]
**Φέρει** [00149]
**Φεύγετε** [00207]
**φιλανθρώπῳ** [00220]
**φιλαργυρίᾳ** [00213]
**φιλαργυρία** [00214]
**φιλοπτώχῳ** [00220]
**φιλοσοφίαν** [00145]
**φλόγα** [00210]
**φοβερὰ** [00015]
**φοβηθήσομαι** [00097]
**φόβοι** [00141]
**φοβοῦμαι** [00017]
**φρόνημα** [00082] [00205]
**φύσις** [00081]
**φωνὴν** [00202]
**φωνῆς** [00219]
**φῶς** [00136]
**φωτὸς** [00136]

**χαλεπὸν** [00003]
**χάριν** [00106] [00127]
**χάρις** [00177]
**χαρίσασθε** [00065]
**χειρὶ** [00220]
**χρήματα** [00130]
**χρημάτων** [00013] [00181]
**χρηστὰ** [00015]
**Χριστὸν** [00169]
**Χριστὸς** [00010] [00097]
**Χριστοῦ** [00179] [00190] [00217]
**Χριστῷ** [00220]
**χρόνος** [00198]
**χρόνου** [00141]
**Χρυσὸς** [00199] [00201]
**χωρίζεται** [00118]
**χωριζέτω** [00023]
**χωρίσαι** [00020]

**ψήφοις** [00067]
**ψυχὴ** [00121]
**ψυχὴν** [00128]

**ὡς** [00213] [00216]
**ὥστε** [00126] [00133] [00133] [00133]
**ὦτα** [00139] [00215]
**ὤτων** [00140]
**ὠφελεῖ** [00138]
**ὠφεληθήσεσθε** [00212]